Σ 212 Πανοῦργος: ὁ πάντα ἐν πονηρίᾳ ἐργαζόμενος. λέγεται δὲ
Ar. καὶ ὁ πάνυ φρόνιμος καὶ ὁ πάντα ἐπιστάμενος. τὸ δὲ Πανοῦργε ἡμεῖς μὲν μετριώτερόν φαμεν, Ἀττικοὶ δὲ ἐπὶ σφοδραῖς βλασφημίαις. Ἀριστοφάνης· πανοῦργον, καὶ πανοῦργον· πολλάκις γὰρ αὔτ' ἐρῶ· καὶ γὰρ οὗτος ἦν πολλάκις τῆς ἡμέρας πανοῦργος. καὶ Πανουργιππαρχίδας. τούτους κωμῳδεῖ ὡς πανούργους, τὸν Τισαμενὸν καὶ τὸν Φαίνιππον καὶ τὸν Ἱππαρχίδην καὶ τὸν γέροντα τὸν φαλακρὸν καὶ τὸν Θεόδωρον, Διομειαλαζόνας δὲ ἀπὸ Διομείων τοῦ δή-
Suid. μου, ὃς ὠνόμασται οὕτως ἀπό τινος Διόμου. ὅτι τὸν πανοῦργον εἰς τὸν φρόνιμον μεταλαμβάνουσι. καὶ ζήτει ἐν τῷ ἐγκράτεια.

ΔΣ 213 Πανωλεθρία. καὶ Πανώλης, ὁ πανώλεθρος.

Ar. 214 Πανσελήνῳ· Ἀριστοφάνης φησὶ περὶ Κλεωνύμου· πόσου τὸν πρωκτὸν συνήγαγε; καί φησι, τῇ πανσελήνῳ. διότι οἱ Ἕλληνες πάντα πρὸς τὴν σελήνην ἔπραττον ἀποβλέποντες. Δάτιδος γοῦν καὶ Ἀντιφέρνους στρατηγῶν τοῦ Περσῶν βασιλέως ἐς Μαραθῶνα ἐμβεβληκότων, περιέμενον τὴν πανσέληνον ἐπὶ τῷ τότε ἐξελθεῖν ἐπὶ τὸν πόλεμον. καὶ πρὶν τοὺς Λακεδαιμονίους παραγενέσθαι, κατώρθωσαν Ἀθηναῖοι τὸν πόλεμον. παίζει οὖν Ἀριστοφάνης διὰ τὸ ἔθος.

Σ 215 Πανσθενέστατον: ἰσχυρότατον.

Σ 216 Πανσπερμία: παγκαρπία.

Δ 217 Πανστρατί: ὅλῳ τῷ στρατοπέδῳ.

Δ 218 Πανσυδί: πανστρατιᾷ. καὶ Πανσυδίην.

E 219 Πάντα ἐν ἐλάττονι θέμενοι ἀδεῶς ἐπόρθουν.

Ar. 220 Πάντ' ἔχεις: πάντ' ἔγνωκας.

Σ (Prov.) 221 Πάντα κάλων σείειν: παροιμία ἐπὶ τῶν πάσῃ προθυμίᾳ χρωμένων. παρῆκται δὲ ἀπὸ τῶν τὰ ἄρμενα χαλώντων.

Prov. 222 Πάντα κινήσω πέτρον: ὁμοία τῇ πάντα λίθον κίνει· τοῦ